*Nomos Basileus*: Colloquium in Honour of Edward Harris, 19–21 May 2022
Judson Herrman, "Repetition in Attic oratory"

---

**1** Eusebius, *Praeparatio Evangelica* 10.3, summary: Ephorus stole 3000 stichoi. Theopompus stole from Isocrates and said he defeated Isocrates in a contest. Theopompus stole material by assigning deeds to different people, such as in the episode regarding Andron, which Theopompus assigns to Pherecydes. Theopompus borrowed an episode from Xenophon's *Hellenica* and made it worse. Menander plagiarized too, and Latinus wrote a book on the thefts. Likewise Philostratus wrote on Sophocles' thefts. Caecilius says that Menander's *Deisidaimonia* is wholly taken from Antiphanes' *Oionistes*. Hyperides takes much from Demosthenes in *Against Diondas* and *On the bribes of Eubulus*. Hellanicus' *Foreign customs* is compiled from Herodotus and Damastes. Herodotus takes much from Hecataeus. The same words for torture occur in Isaeus, Isocrates, and Demosthenes. Dinarchus takes from Demosthenes. Semonides takes from Hesiod, and Euripides from both. Theodectas takes from Euripides and disguises his theft as a proverb. Antimachus robs Homer and miscorrects, to the approval of Lycophron. He also robs a Homeric phrase ridiculed by Cratinus and creates a new line from two Homeric halves. Plato borrows wording from Protagoras; we would have more examples if we had more early books.

**2** Eusebius, *Praeparatio Evangelica* 10.3 (= Hyp. fr. 95):

μηνύω καὐτὸς Ὑπερείδην τὸν καλὸν πολλὰ παρὰ Δημοσθένους κεκλοφότα ἔν τε τῶι Πρὸς Διώνδαν λόγωι ... καὶ ὅτι μὲν ὁ ἕτερος παρὰ τοῦ ἑτέρου μετέθηκε πρόδηλον· συγχρονούντων δ' αὐτῶν, ἡμῶν μὲν ἂν εἴη ἔργον ... ἐκ τῶν χρόνων ἀνιχνεῦσαι τὸν κλέπτην. ἐγὼ δὲ ὑποπτεύω μὲν τὸν ὑφηιρημένον εἶναι τὸν Ὑπερείδην· ἀδήλου δὲ ὄντος ὁπότερος, ἄγαμαι μὲν Δημοσθένην, εἰ λαβὼν παρὰ Ὑπερείδου πρὸς δέον διώρθωσε· μέμφομαι δὲ τὸν Ὑπερείδην, εἰ λαβὼν παρὰ Δημοσθένους πρὸς τὸ χεῖρον διέστρεψε.

I myself assert that the great Hyperides has stolen much from Demosthenes in the speech *Against Diondas* ... It's clear that one borrowed from the other. But since they were contemporaries, it would be a difficult task for us ... to track down the thief based on chronology. I suspect that Hyperides was the original, although it's unclear. For I admire Demosthenes if he took something from Hyperides and put a proper spin on it, while I find fault with Hyperides if he took something from Demosthenes and changed it for the worse.

**3** Hyp. *Against Diondas* 1.2–6 (left; page and lines in Carey et al. 2008) and Dem. 18.215 (right):

οὕτως δὲ πρὸς ἀλλήλους οἰκείως καὶ φιλανθρώπως διετέθητε, ὥστ' ἐκεῖνοι μὲν εἰσεληλυθότες αὐτοὶ εἰς τὴν πόλιν καὶ εἰς τὰς οἰκίας ἐπὶ παῖδας καὶ γυναῖκας τὸ στρατόπεδον ὑμῶν ὑπεδέξαντο·

ἐξῆιτε, ἐβοηθεῖτε, ἵνα τἀν μέσωι παραλείπω, οὕτως οἰκείως ὑμᾶς ἐδέχοντο ὥστ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων ὄντων εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ δέχεσθαι τὴν στρατιὰν ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα.

**4** Hyp. *Against Diondas* 6.28–7.5 (left) and Dem. 18.295 (right):

καίτοι, ὦ Διώνδα, εἰ βούλει εἰδέναι σαφῶς, ποτέρους ἡμῶν οὗτοι ὑπολαμβάνουσιν βέλτιον πολιτεύεσθαι, ἐρώτησον αὐτῶν ἕκαστον, τίνα μάλιστα ἐν Μεγάροις μισοῦσιν· ἀποκρίνονται σοι, ὅτι Πτοιόδωρον, ἐν Ἐρετρίαι δὲ Ἵππαρχον καὶ Κλείταρχον, ἐν Ἄργει δὲ Μνασίαν, ἐν δὲ

οἵ, ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῆι μικρά, πολλάκις προλεγόντων ἡμῶν καὶ παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδίας τὰ κοινῆι συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείρον-

Μεγάληι πόλει Ἱερώνυμον καὶ Κερκιδᾶν. καὶ μὲν δὴ πάλιν ἐρῶτησον “διὰ τί αὐτοὺς μισεῖτε;” φήσειαν δ’ ἄν, διότι ἕκαστος αὐτῶν κατὰ τῆς ἑαυτοῦ πατρίδος ὑπὲρ Φιλίππου ἔπραττεν.

τες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος, Κινέας, Θρασύδαος· Ἀρκάδας Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαμπίδας· Ἀργείους Μύρτις, Τελέδαμος, Μνασέας· Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος· Μεσσηνίους οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες Νέων καὶ Θρασύλοχος· Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης· Κορινθίους Δείναρχος, Δημάρετος· Μεγαρέας Πτοιόδωρος, Ἕλιξος, Πέριλλος· Θηβαίους Τιμόλαος, Θεογείτων, Ἀνεμοίτας· Εὐβοέας Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος.

**5** Hyp. *Against Diondas* 5.19–20 (left) and Dem. 18.230 (right):

Φιλίππου ἐπὶ τῶν ὁρίων τῆς Βοιωτίας ὄντος

ἀντὶ δὲ τοῦ ἐν τῆι Ἀττικῆι τὸν πόλεμον εἶναι, ἑπτακόσια στάδι’ ἀπὸ τῆς πόλεως ἐπὶ τοῖς Βοιωτῶν ὁρίοις γενέσθαι·

**6** Hyp. *Against Diondas* 1.11–15 (left) and D. 18.229 (right):

ἡλίκον δ’ ἦν τὸ ποιήσασθαι τότε πρὸς Θηβαίους τὴν συμμαχίαν ἐκεῖθεν εἴσεσθε· ἀναγκαῖον γὰρ ἦν τοὺς Θηβαίους τρία μὲν ποιῆσαι, ἢ μετὰ Φιλίππου γενέσθαι, ἢ μεθ’ ἡμῶν, ἢ μηδὲ μεθ’ ἑτέρων.

ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ πάντες ᾤοντο, μεθ’ ἡμῶν παραταξαμένους ἐκεῖνον κωλύειν ἐποίησεν·

**7** Hyp. *Against Diondas* 5.28–9 (left) and Dem. 18.249 (right):

[sc. οἱ δικασταὶ] ὑπολήψονται τὸν μὲν κατήγορον ἀπόπληκτον εἶναι καὶ μαινόμενον

ἴστε γὰρ δήπου καὶ μέμνησθ’ ὅτι τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ, καὶ οὔτ’ ἀπόνοια Σωσικλέους οὔτε συκοφαντία Φιλοκράτους οὔτε Διώνδου καὶ Μελάντου μανία οὔτ’ ἄλλ’ οὐδὲν ἀπείρατον ἦν τούτοις κατ’ ἐμοῦ.

**8** Isaeus 8.12 (left) and Dem. 30.37 (right):

ὑμεῖς μὲν τοίνυν καὶ ἰδίαι καὶ δημοσίαι βάσανον ἀκριβέστατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται καὶ δέηι εὑρεθῆναί τι τῶν ζητουμένων, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες, οὕτω ζητεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν γεγενημένων. εἰκότως, ὦ ἄνδρες· σύνιστε γὰρ ὅτι τῶν μὲν μαρτυρησάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν ὡς οὐκ ἀληθῆ ἐκ τῶν βασάνων εἰπόντες.

ὑμεῖς τοίνυν καὶ ἰδίαι καὶ δημοσίαι βάσανον ἀκριβεστάτην πασῶν <πίστεων> νομίζετε, καὶ ὅπου ἂν δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται, δέηι δ’ εὑρεθῆναι τὸ ζητούμενον, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες, οὕτω ζητεῖτε τὴν ἀλήθειαν εὑρεῖν. εἰκότως, ὦ ἄνδρες δικασταί· τῶν μὲν γὰρ μαρτυρησάντων ἤδη τινὲς οὐ τἀληθῆ μαρτυρῆσαι ἔδοξαν· τῶν δὲ βασανισθέντων οὐδένες πώποτ’ ἐξηλέγχθησαν, ὡς οὐκ ἀληθῆ τὰ ἐκ τῆς βασάνου εἶπον.

**9** Isaeus 8.5 (left) and Dem. 27.2–3 (right):

ἔστι μὲν οὖν χαλεπόν, ὦ ἄνδρες, πρὸς παρασκευὰς λόγων καὶ μάρτυρας οὐ τἀληθῆ μαρτυροῦντας εἰς ἀγῶνα καθίστασθαι περὶ τηλικούτων, παντάπασιν ἀπείρως ἔχοντα δικαστηρίων· οὐ μὴν ἀλλὰ πολλὰς ἐλπίδας ἔχω καὶ παρ᾽ ὑμῶν τεύξεσθαι τῶν δικαίων καὶ μέχρι γε τοῦ τὰ δίκαια εἰπεῖν καὶ αὐτὸς ἀρκούντως ἐρεῖν, ἐὰν μή τι συμβῇ τοιοῦτον ὃ νῦν ὑπ᾽ ἐμοῦ τυγχάνει προσδοκώμενον. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, μετ᾽ εὐνοίας τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί μοι τὰ δίκαια.

οἶδα μὲν οὖν, ὦ ἄνδρες δικασταί, ὅτι πρὸς ἄνδρας καὶ λέγειν ἱκανοὺς καὶ παρασκευάσασθαι δυναμένους χαλεπόν ἐστιν εἰς ἀγῶνα καθίστασθαι περὶ τῶν ὄντων ἁπάντων, ἄπειρον ὄντα παντάπασι πραγμάτων διὰ τὴν ἡλικίαν· ὅμως δέ, καίπερ πολὺ τούτων καταδεέστερος ὤν, πολλὰς ἐλπίδας ἔχω καὶ παρ᾽ ὑμῖν τεύξεσθαι τῶν δικαίων καὶ μέχρι γε τοῦ τὰ γεγενημένα διεξελθεῖν καὶ αὐτὸς ἀρκούντως ἐρεῖν, ὥσθ᾽ ὑμᾶς μήτ᾽ ἀπολειφθῆναι τῶν πραγμάτων μηδὲ καθ᾽ ἓν μήτ᾽ ἀγνοῆσαι περὶ ὧν δεήσει τὴν ψῆφον ἐνεγκεῖν. δέομαι δ᾽ ὑμῶν, ὦ ἄνδρες δικασταί, μετ᾽ εὐνοίας τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί μοι τὰ δίκαια.

**10** Isaeus 8.28 (left) and Dem. 27.47 (right; cf. Dem. 29.55):

πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε γνησίαν οὖσαν θυγατέρα Κίρωνος τὴν μητέρα τὴν ἐμὴν ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνύς;

πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειεν πάντα διηρπακότα καὶ μηδὲ τῶν μικρῶν ἀπεσχημένον, ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνὺς μετὰ τοσούτων μαρτύρων καὶ τεκμηρίων;

**11** Isaeus 8.45 (left) and Dem. 28.23 (right):

ἔχετε δὲ πίστεις ἱκανὰς ἐκ μαρτυριῶν, ἐκ βασάνων, ἐξ αὐτῶν τῶν νόμων

πίστεις δ᾽ ἔχεθ᾽ ἱκανὰς ἐκ μαρτύρων, ἐκ τεκμηρίων, ἐκ τῶν εἰκότων

**12** [Dem.] 58.36 (left) and Din. 1.48 (right):

[sc. Θεοκρίνης] δεινὸς γάρ ἐστι ψεύσασθαι καὶ μηδὲν ὑγιὲς εἰπεῖν

Δημοσθένης τῶι ψεύδεσθαι καὶ μηδὲν ὑγιὲς λέγειν ἑτοίμως χρῆται

**13** Lys. 14.12 (left) and Din. 1.27 (right):

ἐὰν μὲν τοίνυν τοὺς ἀγνῶτας κολάζητε, οὐδεὶς ἔσται τῶν ἄλλων βελτίων· οὐδεὶς γὰρ εἴσεται τὰ ὑφ᾽ ὑμῶν καταψηφισθέντα· ἐὰν δὲ τοὺς ἐπιφανεστάτους τῶν ἐξαμαρτανόντων τιμωρῆσθε, πάντες πεύσονται, ὥστε τούτωι παραδείγματι χρώμενοι βελτίους ἔσονται οἱ πολῖται.

τοὺς μὲν γὰρ τυχόντας τῶν κρινομένων, ὅταν ἁλῶσιν, οὐδεὶς οἶδεν οὐδὲ ζητεῖ πυθέσθαι τί πεπόνθασι· τοὺς δ᾽ ἐνδόξους πάντες πυνθάνονται, καὶ τοὺς δικάζοντας ἐπαινοῦσιν, ὅταν τὸ δίκαιον μὴ πρόωνται ταῖς τῶν κρινομένων δόξαις.

**14** Aesch. 3.133 (left) and Din. 1.24 (right):

Θῆβαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ᾽ ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται

[sc. Θῆβαι] πόλις ἀστυγείτων καὶ σύμμαχος ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται

**15** Aesch. 3.157 and Din. 1.77: [sc. Δημοσθένη] τὸν τῆς Ἑλλάδος ἀλειτήριον, “the plague of Greece.”

**16** Arthmius of Zelea: Dem. 9.41–4, Din. 2.24–5, also Aesch. 3.258.

**17** Dem. 2.10 (left) and Hyp. *Against Diondas* 2.2–5 (right):

τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει

δεῖ δὲ τῶν κινδύνων πάντων τὰς μὲν ἀρχὰς καὶ τὰς ὑποθέσεις εἰς τοὺς πράττοντας ἀναφέρειν

**18** Shared phrases in Lys. 2.20–5 and Isoc. 4.85–7: ἁπάσης τῆς Ἑλλάδος ... πρὸς πολλὰς μυριάδας ... τοὺς ὅρους τῆς χώρας. Then Lys 2.29 ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω and Isoc. 4.89 τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ᾽ Ἄθω διορύξας.

**19** Dem. 60.23 (left) and Lycurg. 1.50 (right):

ἡ πάσης τῆς Ἑλλάδος ἄρ᾽ ἐλευθερία ἐν ταῖς τῶνδε τῶν ἀνδρῶν ψυχαῖς διεσῴζετο

μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον

**20** Dem. 60.23 (left) and Lycurg. 1.50 (right):

δοκεῖ δέ μοί τις ἂν εἰπὼν ὡς ἡ τῶνδε τῶν ἀνδρῶν ἀρετὴ τῆς Ἑλλάδος ἦν ψυχὴ τἀληθὲς εἰπεῖν·

οὐκ <ἂν> αἰσχυνθείην εἰπὼν στέφανον τῆς πατρίδος εἶναι τὰς ἐκείνων ψυχάς.

**21** Authors repeat themselves: Ant. 5.87–9 and 6.3–6, 5.14 and 6.2; Isoc. 3.6–9 and 15.253–6, 7.14 and 12.138; Dem. *Prooimion* 1 and 4.1, *Pr.* 3 and 1.1, *Pr.* 7 and 14.1, *Pr.* 27 and 15.1, *Pr.* 8 and 16.1; Dem. 4.2 and 9.5; Dem. 8.38–67 and 10.11–27, 55–70; Dem. 22.47–56, 65–78 and 24.160–86. Cf. schol. ad Dem. 21.101 (348b Dilts), with MacDowell (1990: 26): οὐ δεῖ δὲ θαυμάζειν εἰ τοῖς αὐτοῖς ῥήμασι καὶ ἐν τῆι ἄλληι τοῦ ἐλέου ἐκβολῆι ἐχρήσατο. σύνηθες γὰρ τοῦτο ποιεῖν τοῖς παλαιοῖς, καὶ αὐτὸς δὲ πεποίηκεν αὐτὸ καὶ ἐν τοῖς Φιλιππικοῖς καὶ ἐν τῶι κατὰ Τιμοκράτους, καὶ Ἰσοκράτης ὁμοίως ἔν τε τῶι Παναθηναϊκῶι καὶ ἐν τῶι περὶ ἀντιδόσεως.

---

## Works cited


Badian, E. (2000) “The road to prominence,” in I. Worthington (ed.), *Demosthenes: statesman and orator*. London. 9–44.

Bosworth, A. B. (2000) “The historical context of Thucydides’ Funeral Oration,” *Journal of Hellenic Studies* 120: 1–16.

Carey, C., M. Edwards, Z. Farkas, J. Herrman, L. Horváth, G. Mayer, T. Mészáros, P. J. Rhodes, and N. Tchernetska (2008) “Fragments of Hyperides’ *Against Diondas* from the Archimedes Palimpsest,” *Zeitschrift für Papyrologie und Epigraphik* 165: 1–19.

Herrman, J. (2008) “The authenticity of the Demosthenic *Funeral Oration*,” *Acta antiqua Academiae Scientiarum Hungaricae* 48: 171–8.

Horváth, L. (2014) *Der Neue Hypereides: Textedition, Studien und Erläuterungen*. Berlin.

Maas, P. (1928) “Zitate aus Demosthenes’ Epitaphios bei Lykurgos,” *Hermes* 63: 258–60.

MacDowell, D. M. (1990) *Demosthenes. Against Meidias* (*Oration 21*). Oxford.

McCabe, D. F. (1981) *The prose-rhythm of Demosthenes*. New York.

Todd, S. C. (2009) “Hypereides *Against Diondas*, Demosthenes *On the Crown*, and the rhetoric of political failure,” *Bulletin of the Institute of Classical Studies* 52: 161–74.